ἐπορανιοσ ἀπὸ τοῦ ἁγίου πνεύματος τοῦ θυ ἵνα μὴ λυπηθητε ἀπὸ στενοχωρίας ἐν τῇ ἡμέρᾳ
τῆ πονηρᾷ καὶ ἁπάντα κατεργασάμενοι στῆναι
περιεζωσμένοι τὴν ὀσφὺν ἐν ἀληθείᾳ
καὶ ἐνδεδυμένοι τὸν θώρακα τῆς δικαιοσύ-
νης καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμα-
σίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης ἐπὶ πᾶσιν δὲ λα-
βόντες τὸν θυρεὸν τῆς πίστεως ἐν ᾧ δυνήσε-
σθε πάντα τὰ βέλη τοῦ πονηροῦ πεπυρωμένα σβέ-
σαι καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξα-
σθε τὴν μάχαιραν τοῦ πνς ὅ ἐστιν ῥῆμα θυ διὰ
πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι
ἐν παντὶ καιρῷ ἐν πνι καὶ εἰς αὐτὸ ἀγρυπνοῦντες ἐν πάσῃ
προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων καὶ ὑπὲρ ἐμοῦ
ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόμα-
τός μου ἐν παῤῥησίᾳ γνωρίσαι τὸ μυστήριον
τοῦ εὐαγγελίου ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει ἵνα ἐν αὐτῷ
παῤῥησιάσωμαι ὡς δεῖ με λαλῆσαι ἵνα δὲ
καὶ ὑμεῖς εἰδῆτε τὰ κατ᾽ ἐμέ τί πράσσω
γνωρίσει ὑμῖν τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς
καὶ πιστὸς διάκονος ἐν κῳ ὃν ἔπεμψα πρὸς